59 M. Tscheinen, Walliser sagen (Sitten 1872) s. 135 f. Eine replik aus Thüringen in Grimms deutschen sagen n. 330 b. I² 376.

kind auf wunderbare weise, bis hirten es entdeckten. Schon damals war das mädchen von auffallender schönheit und wuchs nun bei dem oberhirten, der es als kind annahm, zu einem wunder heran. Ein königlicher statthalter Onnes, der sie dort erblickt hatte, heirathete sie. Auf dem baktrischen feldzug des Ninos empfindet Onnes sehnsucht nach ihr und lässt sie nachkommen. Sie legt zur reise eine tracht an, die nicht unterscheiden liess, ob sie mann oder weib sei. Beim heer zeichnet sie sich dann durch einsicht und tapferkeit aus, der könig selbst wirft ein auge auf sie, und der geringere mann muss dem höheren weichen. Onnes tritt zurück, aber vor gram nimmt er sich das leben. Das wunderbare eingreifen der tauben hat bewirkt, dass die Syrer die tauben seitdem göttlich verehrten: aber auch Semiramis selbst, sagte man, habe zuweilen die gestalt einer taube angenommen (Diod. II 20, 2). — Der altfränkische pragmatismus dieses berichts hat die mythischen grundlinien nicht zerstört: alle charakteristischen motive unserer legenden finden sich wieder und manches in diesen, was nebensächlich schien, tritt nun in helleres licht. Das vergnügen, selbst zu vergleichen, will ich dem leser nicht verkürzen.

Aber ein motiv ist, so viel ich sehe, den in den kreis dieser semitischen Aphrodite gehörigen sagen fremd, die verwicklung, welche der geschlechtswechsel zur folge hat. Die örtliche verbreitung des motivs kann wiederum nicht zufällig sein. Die legenden, welche dasselbe verwenden, spielen meist in Aegypten, reichen aber an der phoenikischen küste hinauf bis zum Libanos. Auf ihre ausbildung muss Isis eingewirkt haben, die gleichfalls viel an küsten verehrt wurde und als Isis Pharia, eine göttin des meers und der schifffahrt, semitische elemente in sich aufgenommen hatte. In Korinth und auf Lesbos wurde auch sie als Pelagia[60] verehrt.

60 Pausan. II 4, 6. *CIGr.* n. 2174.

I

REUE DER PELAGIA VON ANTIOCHIA

VERFASST VOM DIACONUS JAKÒB

II

LEGENDE

DER PELAGIA VON TARSOS

Dem text von Jakobs Reue der heiligen Pelagia sind die abweichungen der Leidener handschrift mit ausschluss der orthographischen fehler vollständig beigegeben. was die hs. auslässt, ist in diesen anmerkungen durch eckige klammern [....] kenntlich gemacht; die worte, die sie dem texte zusetzt, sind durch einschliessung in runde klammern (....) hervorgehoben.

Μετάνοια τῆς ὁσίας Πελαγίας. f. 192r

Τὸ γενόμενον θαῦμα ἐν ταῖς ἡμέραις ἡμῶν ἔδοξεν ἐμοὶ τῷ ἁμαρτωλῷ Ἰακώβῳ γράψαι ὑμῖν τοῖς πνευματικοῖς ἀδελφοῖς, ὡς ἂν ἀκούσαντες πολλῆς κατὰ ψυχὴν ὠφελείας τυχόντες τὸν φιλάνθρωπον θεὸν δοξάσητε τὸν μηδένα θέλοντα ἀπολέσθαι ἀλλὰ πάντας ἁμαρτωλοὺς σωθῆναι. [νῦν οὖν ἡσυχίαν δότε μοι καὶ προσέχετε τοῖς λεγομένοις· πάσης γὰρ ὠφελείας καὶ κατανύξεως πεπλή- 192v *ρωται τὸ διήγημα].*

Ὁ ἁγιώτατος ἐπίσκοπος Ἀντιοχείας μετεκαλέσατο τοὺς πέριξ ἐπισκόπους περί τινος πράγματος. καὶ συνῆλθον ἐπίσκοποι τὸν ἀριθμὸν ὀκτώ, ἐν οἷς ἦν καὶ ὁ ἅγιος τοῦ θεοῦ Νόννος ὁ κατ' ἐμὲ ἐπίσκοπος, ἀνὴρ θαυμαστὸς καὶ ἀσκητικός, [μονάζων] τῆς μονῆς γενόμενος τῶν Ταβεννησιωτῶν· διὰ δὲ τὸν ἀνεπίληπτον αὐτοῦ βίον καὶ τὴν ἐνάρετον πολιτείαν κατηξιώθη τῆς τοιαύτης ἀξίας. συνελθόντας οὖν ἐν Ἀντιοχείᾳ ἐκέλευσεν ἡμᾶς ὁ ἐπίσκοπος μεῖναι ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰουλιανοῦ· καὶ εἰσελθόντες ἐν αὐτῷ κατελύσαμεν μετὰ τῶν ἄλλων ἐπισκόπων.

II *ἐν μιᾷ οὖν τῶν ἡμερῶν καθεζόμενοι ἅμα οἱ ἐπίσκοποι παρὰ τὸν πυλῶνα τοῦ μαρτυρίου ἠρώτων τὸν κύριον Νόννον εἰπεῖν καὶ ὠφελῆσαι αὐτούς. τοῦ δὲ ἁγίου πνεύματος λαλοῦντος διὰ τῶν χει-*

ABWEICHUNGEN DER LEIDENER HANDSCHRIFT 1 *Βίοσ καὶ πολιτεία τῆσ ὁσίασ μρσ ἡμῶν πελαγίας* | 2 (*σημεῖον μᾶλλον δὲ*) *θαῦμα* | *ἔδοξε καμοὶ* | 3 [*ὑμῖν*] | 4 *ἂν* (*τοῦτο*) | (*καὶ*) *πολλῆσ* | 6 *οὖν* (*παρακαλῶ μετὰ πολλῆσ ἀκριβείασ*) *τοῖσ λεγομένοισ προσέχετε·* | 7 *κατανοίξεωσ* | 11 *νώνοσ* so stets | 13 *ταβενησιοτῶν* | 14 *συνελθόντεσ* | 15 *ἀντιοχεία* (*ὡσ εἴρηται*) *ἐκελεύσθημεν ὑπὸ τοῦ ἀρχιεπισκόπου* | 18 [*τῶν ἡμερῶν*] | *καθεζομένων ἅμα τῶν ἐπισκόπων* | 19 *κύρην νώνον* (*τὸν κατἐμὲ ἐπίσκοπον*)

λέων αὐτοῦ πρὸς ὠφέλειαν καὶ σωτηρίαν πάντων τῶν ἀκουόντων,
ἰδοὺ ἄφνω παρέρχεται δι' ἡμῶν ἡ πρώτη τῶν μιμάδων Ἀντιοχείας
[αὕτη δὲ ἦν καὶ ἡ πρώτη τῶν χορευτριῶν τοῦ ὀρχηστρίου]. καὶ
διέβη καθημένη εἰς βαδιστὴν μετὰ πολλῆς φαντασίας κεκαλλωπι-
σμένη, ὥστε μὴ φαίνεσθαι ἐπ' αὐτῆς πλὴν χρυσίου καὶ μαργαριτῶν
καὶ λίθων τιμίων, τὰ δὲ γυμνὰ τῶν ποδῶν αὐτῆς διὰ [χρυσίου καὶ]
μαργαριτῶν κεκοσμημένη· καὶ ἦν πολλὴ φαντασία τῶν παίδων καὶ
193r τῶν κορασίων τῶν μετ' αὐτῆς, φορούντων ἱματισμὸν πολυ|τελῆ καὶ
μανιάκια χρυσᾶ, καὶ τοὺς μὲν ἂν ἴδοις αὐτῆς προτρέχοντας, τοὺς δὲ
ἐπακολουθοῦντας· τοῦ δὲ περικειμένου αὐτῇ κόσμου καὶ τοῦ ὡραϊ-
σμοῦ οὐκ ἦν κόρος μάλιστα τοῖς δημοχαρέσιν ἀνθρώποις. αὕτη διελ-
θοῦσα δι' ἡμῶν τὸν ἀέρα ὅλον ἐπλήρωσε τῆς εὐωδίας τοῦ μόσχου
καὶ τῶν μύρων. ὡς οὖν ἐθεάσατο ταύτην ὁ χορὸς τῶν ἁγίων ἐπι-
σκόπων ἀνακεκαλυμμένῳ προσώπῳ διερχομένην μετὰ τοσαύτης ἀναι-
δείας, ὡς καὶ τὸ [πολυτίμητον αὐτῆς] θέριστρον μὴ περικεῖσθαι
περὶ τὴν κεφαλὴν ἀλλ' ἐπὶ τῶν ὤμων, ὡς ἀπὸ μεγάλης ἁμαρτίας
III ἀπέστρεψαν τὰ πρόσωπα αὐτῶν. ὁ δὲ ἅγιος τοῦ θεοῦ Νόννος
[ὁ ἐπίσκοπος] τοῖς τῆς διανοίας αὐτῇ ὀφθαλμοῖς ἀκριβῶς προσέσχεν,
ὥστε καὶ μετὰ τὸ παρελθεῖν αὐτὴν στραφῆναι καὶ τηρεῖν αὐτήν·
καὶ θεὶς τὸ πρόσωπον αὐτοῦ ἐπὶ τῶν γονάτων ἐπλήρωσεν ὅλον τὸν
κόλπον αὐτοῦ δακρύων, καὶ στενάξας μέγα λέγει τοῖς συγκαθημένοις
[αὐτῷ] ἐπισκόποις· [ὄντως] Ὑμεῖς οὐκ ἐτέρφθητε τοῦ κάλλους αὐ-
τῆς; οἱ δὲ σιωπὴν ἀσκήσαντες οὐκ ἀπεκρίθησαν. καὶ πάλιν θεὶς
τὸ πρόσωπον καὶ μέγα στενάξας καὶ τὸ στῆθος αὐτοῦ τύπτων ὅλον
τὸ τρίχινον αὐτοῦ ἐπλήρωσεν τῶν δακρύων· ἔπειτα ἀνανεύσας λέγει
τοῖς ἐπισκόποις· Ὄντως ὑμεῖς οὐκ ἐτέρφθητε; ἀλλ' ἐγὼ πάνυ

3 ὀρχιστοῦ | 5 ἀπ' αὐτῆσ | χρυσίου (καὶ ἀργυρίου) καὶ λίθων τιμίων καὶ μαργαριτοῦ | 7 κεκοσμιμένη ἐν πολλῇ | 9 [ἂν ἴδοις] | 11 κόροσ (καὶ) | δημοχαρίσιν | 13 μύρων (τῶν ἐπ' αὐτῇ) | 14 (καὶ) μετὰ τοιαύτησ (φαντασίασ καὶ) ἀναιδίασ ὡσ μηδὲ τὸ | 15 [μὴ] | 16 ὡσ ἀπο μεγ. ἀμ. nach 17 αὐτῶν | 18 αὐτὴν | 19 [ὥστε] | παρελθῆναι | [στραφῆναι . . αὐτήν· καὶ] | 20 ἔθηκεν τὸ | ἐπὶ τῶν γονάτων (αὐτοῦ μετὰ καὶ τοῦ ἐγχειριδίου οὗ ἐκράτει ταῖσ ἁγίαισ αὐτοῦ χερσιν. καὶ) | 21 (πρὸσ) τοῖσ | 24 πρόσωπον (αὐτοῦ) | τύψας | 26 ὄντως....ἐγὼ] εἰ καὶ ὑμεῖσ τοῦ κάλλουσ αὐτῆσ οὐκ ἐτέρφθηται ἀλλ' ὄντωσ ἐγὼ

σφοδρῶς ἐτέρφθην καὶ ἠράσθην τοῦ κάλλους αὐτῆς, ὅτι ταύτην ἔχει
στῆσαι ὁ θεὸς ἐνώπιον τοῦ | φοβεροῦ βήματος κατακρίνουσαν ἡμᾶς 193v
καὶ τὴν ἐπισκοπὴν ἡμῶν. ὡς νομίζετε, ἀγαπητοί, πόσας ὥρας
ἐποίησεν ἐν τῷ κοιτῶνι αὕτη σμηχομένη καλλωπιζομένη ὡραϊζομένη
καὶ μετὰ πόσης φιλοκαλίας ἐσωπτρίσατο, ἵνα μὴ τοῦ προκειμένου
σκοποῦ ἀποτύχῃ καὶ ἄμορφος φανῇ τοῖς ἑαυτῆς ἐρασταῖς; καὶ ταῦτα
ἐποίησεν ἵνα ἀνθρώποις ἀρέσῃ τοῖς σήμερον οὖσι καὶ αὔριον οὐκ
οὖσιν· καὶ ἡμεῖς ἔχοντες παστὸν ἐν οὐρανοῖς ἀκατάλυτον καὶ μέ-
νοντα διὰ παντός, ἔχοντες νυμφίον ἀθάνατον ἀθανασίαν χαριζό-
μενον τοῖς καλλωπιζομένοις τὰς ἐντολὰς αὐτοῦ, προῖκα ἔχοντες
πλουσίαν καὶ ἐπουράνιον, ᾗ εἰκασμῷ οὐχ ὑποβάλλεται "ἃ ὀφθαλ-
μὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου
οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν", καὶ τί πολλὰ
λέγω; ἐπαγγελίαν ἔχοντες τὸ πρόσωπον ἐκεῖνο τὸ θεῖον ἀεὶ θεωρεῖν
καὶ τὸ ἀμήχανον κάλλος [εἰς ὃ τὰ χερουβὶμ ἀτενίσαι οὐ τολμῶσιν·
καὶ τοιοῦτον νυμφίον ἀσύγκριτον ἔχοντες] οὐ καλλωπιζόμεθα οὔτε
ἀποσμηχόμεθα τὸν ῥύπον ἀπὸ τῆς ἀθλίας ἡμῶν ψυχῆς ἀλλ' εἰά-
σαμεν αὐτὴν ἐν ἀμελείᾳ κατακεῖσθαι;

καὶ ταῦτα εἰπὼν παρέλαβέν με καὶ ἀνήλθομεν ἐν τῷ κελ- IV
λίῳ· καὶ ῥίψας ἑαυτὸν ἐπὶ τὸ ἔδαφος καὶ τὸ μέτωπον τῇ γῇ ἐπι-
κρούων ἔκλαιε λέγων· Ὁ θεός, ἱλάσθητί μοι τῷ ἁμαρ|τωλῷ καὶ 194r
ἀναξίῳ, ὅτι μιᾶς ἡμέρας καλλωπισμὸς πόρνης ἐνίκησεν τὸν καλλω-
πισμὸν ὅλων τῶν ἐτῶν τοῦ βίου μου. καὶ ποίῳ προσώπῳ ἀτενίσω
σοί, ὁ θεός; ποίοις δὲ λόγοις δικαιωθῶ ἐνώπιον σοῦ; τί δὲ προ-
φασίσωμαι ἔμπροσθεν σοῦ τοῦ θεωροῦντος τὰ κρυπτά μου; ἀβάλ'
ἐμοὶ τῷ ἁμαρτωλῷ, ὅτι τὴν φλιὰν κατατρίβω τοῦ ναοῦ σου μὴ

2 (*αὐτοῦ*) *βήματοσ* | 3 *ἡμῶν* (*καὶ τὸν βίον ἡμῶν. καὶ λέγει πάλιν τοῖσ ἐπισκόποισ·*) | *νομίζεται* (*κύριοί μου*) | 4 (*αὐτὴ*) *ἐν* | *αὐτῆσ* | (*κοσμουμένη καὶ*) *ὡραϊζομένη* | 5 *πολλῆσ* | 6 (*αὐτῆσ*) *σκοποῦ* | 8 *ἐν* (*τοῖσ*) | 9 *ἔχοντες*] *ἔτι δὲ καὶ* | *ἀθάνατον*] *ιν̄* | 11 *εἴ τισ κόσμωι οὐχ* | 14 *ἐπαγγελίασ ἔχομεν* | 16 *οὔτε καλλοπίζομεν ἑαυτοὺσ* (*οὔτε κοσμούμεθα*) | 17 *ἀποσμίχομεν* | *ἐάσαμεν* | 19 *ταῦτα δὲ αὐτοῦ εἰπόντοσ* | *ἀπήλθαμεν* | 20 *πρόσωπον* | *ἀποχρύβον* | 22 *μιᾶσ ὥρασ* | 23 (*τῆσ ψυχῆσ μου*) *ὅλων* | 24 *σου ἢ τί προφασίσομαι* | 25 *μου*] *τῶν ἀνθρώπων* | *οὐαί μοι τῶι* | 26 *τοῦ νοεροῦ σου* (*θυσιαστηρίου*)

προσφέρων σοι κάλλος ψυχῆς οἷον ἐπιζητεῖς παρ' ἐμοῦ, καὶ τῇ φρικτῇ [καὶ φοβερᾷ] σου τραπέζῃ παρίσταμαι μὴ κεκαλλωπισμένος πρὸς τὸ θέλημά σου· ὁ θεὸς ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὴν ταπείνωσίν μου καὶ ἀνάξιον ὄντα με καταξιώσας δουλεύειν σοι, μή με ἀφορίσῃς ἀπὸ τοῦ οὐρανίου σου θυσιαστηρίου, μηδὲ κατακρίνῃ με ὁ καλλωπισμὸς τῆς πόρνης ἐνώπιον τοῦ [φρικτοῦ καὶ] φοβεροῦ βήματός σου· ἐκείνη γὰρ ἀνθρώποις ἐπηγγείλατο ἀρέσαι καὶ ἠλήθευσεν, ἐγὼ δὲ σοὶ τῷ φιλανθρώπῳ θεῷ ἐπηγγειλάμην ἀρέσαι καὶ ἐψευσάμην. διὰ τοῦτο ἐκείνη μέν ἐστιν κεκαλλωπισμένη ἐνώπιον τῶν αὐτῆς ἐραστῶν, ἐγὼ δὲ γυμνὸς ἐπὶ γῆς καὶ ἐν οὐρανοῖς. λοιπὸν οὐκ ἔστιν μοι ἐξ ἔργων σωτηρίας ἐλπίς, ἀλλ' ἡ ψυχή μου [καὶ ἡ ἐλπίς μου] πᾶσα εἰς τοὺς οἰκτιρμούς σου ἀποκρέμαται καὶ εἰς τὸ πλῆθος τῆς εὐσπλαγχνίας σου ἤλπισα σωθῆναι.

ταῦτα αὐτοῦ λέγοντος καὶ ἀποδυρομένου σφοδρῶς ἐτελέσαμεν τὴν
194v ἡμέραν ἐκείνην, ἥ τις ἦν σάββατον. καὶ τῇ ἐπαύριον μετὰ τὸ πλη|ρῶ-
V σαι ἡμᾶς τὰς νυκτερινὰς εὐχὰς [τῆς ἁγίας κυριακῆς] λέγει μοι ὁ ἐπίσκοπος· Ἀδελφὲ διάκονε, ὅραμα εἶδον καὶ πάνυ τετάραγμαι, ὅτι διακρῖναι αὐτὸ οὐ δύναμαι· ἀλλ' ὁ θεὸς τὸ αὐτῷ εὐάρεστον καὶ ἡμῖν συμφέρον ποιήσει. - εἶτα λέγει μοι· Εἶδον κατ' ὄναρ ὅτι εἰς τὸ κέρας τοῦ θυσιαστηρίου ἕστηκα, καὶ ἐλθοῦσα περιστερὰ μελανὴ καὶ βεβορβορωμένη περιεπέτατό μοι, καὶ τὴν δυσωδίαν τοῦ βορβόρου αὐτῆς οὐκ ἠδυνάμην φέρειν. αὐτὴ δὲ ἐπέμενεν περιπετομένη μοι, ἕως οὗ ἀπέλυσεν ἡ εὐχὴ τῶν κατηχουμένων· καὶ ὅτε ἐκήρυξεν ὁ διάκονος Ὅσοι κατηχούμενοι προέλθετε, εὐθέως ἄφαντος ἐγένετο ἀπ' ἐμοῦ. καὶ μετὰ τὴν εὐχὴν τῶν πιστῶν καὶ τῆς προσενέξεως τὴν τελείωσιν ἀπέλυσεν ἡ ἐκκλησία. καὶ προελθόντος μου τὴν φλιὰν τοῦ οἴκου τοῦ θεοῦ ἔρχεται πάλιν ἡ αὐτὴ περιστερὰ βεβορβορωμένη καὶ περιεπέτατό μοι. καὶ ἐκτείνας τὴν χεῖρά μου ἐπίασα αὐτὴν καὶ ἔρριψα εἰς τὸν λουτῆρα [τοῦ ὕδατος] ἐν τῇ αὐλῇ τῆς ἐκκλησίας· καὶ ἀφῆκεν ἐν τῷ ὕδατι πᾶσαν αὐτῆς τὴν ῥυπαρίαν καὶ

3 (κύριε) ὁ θεόσ (μου) | 3—5 παραγαγὼν τὰ σύμπαντα· (διὸ δέομαι εὔσπλαγχνε τοῖσ ἀφάτοισ σου οἰκτιρμοῖσ) ἀνάξιόν με ὄντα μὴ ἀπορρίψησ ἀπὸ | 10 αὐτῆσ | γυμνὸσ ἐνώπιον σου· λοιπὸν | 12 εἰσ τὸ πέλαγοσ τῶν σῶν οἰκτιρμῶν | 13 ἐλπίζω | 14 καὶ (τούτων πλείονα καὶ) | διήλθαμεν (οὕτωσ) τὴν | 17 διάκονε] ἰάκωβε | 29 (αὐτὴν) εἰσ

ἀνῆλθεν [ἀπὸ τοῦ ὕδατος] λαμπρὰ ὡσεὶ χιών· καὶ πετομένη εὐθὺς ἀνήρχετο εἰς ὕψος ἕως ὅτου ἔδυνεν ἐξ ὀφθαλμῶν μου.

ταῦτα εἰπὼν παρέλαβέν με καὶ ἀπήλθαμεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ μετὰ τῶν λοιπῶν ἐπισκόπων, καὶ ἠσπασάμεθα τὸν ἐπίσκοπον τῆς πόλεως. καὶ ὅτε ἐγένετο ὥρα συνεισελθεῖν τὸ πρεσβυτέριον, VI προτρέπεται ὁ προλεχθεὶς Ἀντιοχείας ἐπίσκοπος εἰσελθεῖν μετ' αὐτοῦ | τοὺς συνελθόντας ἐπισκόπους. καὶ εἰσελθόντες ἐκάθισαν ἐπὶ τὸ 195r βῆμα. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου ἀποστέλλει ὁ ἐπίσκοπος τῆς πόλεως τὸ ἅγιον εὐαγγέλιον πρὸς τὸν κύριον Νόννον [τὸν κατ' ἐμὲ ἐπίσκοπον] προτρεψάμενος αὐτὸν ὁμιλῆσαι τῷ λαῷ. ὃς καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ οὐκέτι αὐτὸς ἐλάλει ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ οἰκοῦσα ἐν αὐτῷ. ὡμίλησεν δὲ οὐδὲν κομπὸν ἢ φιλόλογον [ἢ δυσνόητον], οὐκ ἦν γὰρ μετέχων ἀνθρωπίνης σοφίας, ἀλλὰ πεπληρωμένος πνεύματος ἁγίου κατήχησεν τὸν λαὸν ἀσκητικῶς λέγων περὶ τῆς μελλούσης κρίσεως καὶ ἀγαθῆς ἐλπίδος τῆς ἀποκειμένης τοῖς πιστοῖς. καὶ οὕτως κατενύγη πᾶς ὁ λαὸς ἐπὶ τοῖς λόγοις οἷς ἐλάλει τὸ πνεῦμα τὸ ἅγιον δι' αὐτοῦ, ὥστε ὅλον τὸ ἔδαφος τῆς ἐκκλησίας καταρρανθῆναι ὑπὸ τῶν δακρύων τοῦ λαοῦ.

VII κατ' οἰκονομίαν δὲ τοῦ φιλανθρώπου θεοῦ συνέρχεται εἰς τὴν ἐκκλησίαν καὶ ἡ περιβόητος ἐν κακοῖς αὕτη γυνή, περὶ ἧς ἡμῖν ὁ λόγος· καὶ τὸ ξένον τοῦτο καὶ θαυμαστόν, ὅτι οὖσα κατηχουμένη καὶ μηδέποτε ἔννοιαν λαβοῦσα τῶν ἁμαρτιῶν ἢ συναχθεῖσα εἰς ἐκκλησίαν ποτὲ αὕτη τοίνυν τῷ ἁγίῳ ὁμιλοῦντι οὕτως κατενύγη εἰς τὸν φόβον τοῦ θεοῦ, ὥστε ἀπογνοῦσα ἑαυτῆς ἔκλαιεν καὶ τοῦ ποταμοῦ τῶν δακρύων αὐτῆς οὐκ ἦν ἀναχαιτισμός. παραγγέλλει δὲ δυσὶ τῶν παιδαρίων αὐτῆς λέγουσα· Προσκαρτερήσατε ὧδε καὶ ἀκολουθήσατε τῷ ἁγίῳ ἐπισκόπῳ καὶ μάθετε ποῦ μένει. καὶ ἐποίη-

2 ἕωσ ὅτε | 3 ταῦτα αὐτοῦ εἰπόντοσ | 4 τὸν ἀρχιεπίσκοπον. καὶ | 7 [καὶ εἰσελθόντες...8 βῆμα] | 8 ἀπόλυσιν τοῦ | 9 ἀρχιἐπίσκοποσ τὸ | κύριν | 12 ὁμιλήσαντοσ δὲ αὐτοῦ οὐδὲν | 14 f. ἀλλ' εἰπόντοσ πνεύματι θείω πρὸσ τὸν λαὸν περὶ τῆσ μελλούσησ κρίσεωσ καὶ ἀνταποδόσεωσ καὶ ἀγαθῆσ | 16 τοῖσ ἁγίοισ πᾶσιν οὕτωσ κατηνύγει | 19 [εἰς τὴν ἐκκλησίαν] | 22 ἁμαρτιῶν (αὐτῆσ) ἢ εἰσελθοῦσα | 23 ποτὲ (εὐχῆσ χάριν) | κατηνύγει | 25 ἀναχετισμόσ· | 26 δύο τῶν

195v σαν οἱ παῖδες ὡς διετάχθησαν, καὶ ἀκολουθήσαντες | ἡμῖν ἐπέστησαν ἐπὶ τὴν ἐκκλησίαν· καὶ οὕτω πορευθέντες ἀπήγγειλαν τῇ κυρίᾳ αὐτῶν, ὅτι ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰουλιανοῦ μένουσιν.

παραυτίκα δὲ ἀποστέλλει διὰ τῶν παίδων αὐτῆς δίπτυχον περιέχον οὕτως· Τῷ ἁγίῳ μαθητῇ τοῦ Χριστοῦ ἡ ἁμαρτωλὸς μαθήτρια τοῦ διαβόλου. ἀκοὴν ἤκουσα περὶ τοῦ θεοῦ οὗ σέβει, ὅτι τοὺς οὐρανοὺς ἔκλινεν, καὶ κατέβη ἐπὶ τῆς γῆς οὐχ ἕνεκα δικαίων ἀλλ' ἵνα σώσῃ ἁμαρτωλούς, καὶ ὅτι τοιοῦτος καὶ τηλικοῦτος ὢν τελώναις καὶ ἁμαρτωλοῖς συνανεκλίθη καὶ εἰς ὃν τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ἀτενίσαι οὐ τολμῶσιν ἀνθρώποις συνανεστράφη. καὶ νῦν, δέσποτα, πολλὴν ἁγιωσύνην ἔχων (καὶ γὰρ εἰ καὶ τοῖς σωματικοῖς ὀφθαλμοῖς οὐκ εἶδες τὸν ποθούμενον Ἰησοῦν, ἀλλὰ γοῦν μετὰ τῆς Σαμαρίτιδος πόρνης ἐπὶ τῷ φρέατι ἐπίστασαι ὡς ἐπαρρησιάσατο· ταῦτα γὰρ σοῦ διηγουμένου ἀκήκοα περὶ τοῦ θεοῦ σου) εἰ οὖν τοιούτου θεοῦ μαθητὴς εἶ, μὴ βδελύξῃ με διὰ σοῦ ζητοῦσαν σωθῆναι καὶ τῷ ἁγίῳ σου ὀφθῆναι προσώπῳ.

τότε ὁ ἐπίσκοπος ἀντιγράφει πρὸς ταῦτα οὕτως· Ἤ τις οὖν εἶ, τῷ θεῷ πεφανέρωσαι, καὶ σὺ καὶ ὁ σκοπός σου. πλὴν λέγω σοι, μὴ θελήσῃς πειρᾶσαι τὴν ἀθλιότητά μου· ἐγὼ γάρ εἰμι ἁμαρτωλὸς ἄνθρωπος. ἀλλ' εἰ ὄντως πόθον θεϊκὸν ἔχεις [καὶ θέλεις μοι συντυχεῖν], εἰσὶν σὺν ἐμοὶ ἐπίσκοποι ἑπτά· ἐλθοῦσα οὖν ἐνώπιον αὐτῶν συντυγχάνῃς μοι· κατὰ μόνας δὲ οὐ δύνασαί μοι συντυχεῖν. |

196r ταῦτα ἀναγνοῦσα [καὶ] εὐθὺς μετὰ χαρᾶς ἀναστᾶσα δρομαία παραγίνεται ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἰουλιανοῦ καὶ δηλοῖ ἡμῖν τὴν παρουσίαν αὐτῆς. ὁ δὲ ἐπίσκοπος Νόννος [τοῦτο μαθὼν] πρὸ τοῦ αὐτὴν παραγενέσθαι συγκαλεσάμενος τοὺς ἐπισκόπους ἐκέλευσεν εἶθ' οὕτως καὶ αὐτὴν ἀνελθεῖν. ἡ δὲ ἐλθοῦσα ὅπου ἦσαν συνηγμένοι ῥίπτει ἑαυτὴν ἐπὶ τὸ ἔδαφος καὶ ἐπιλαμβάνεται τῶν ποδῶν τοῦ ἁγιωτάτου ἐπισκόπου Νόννου κλαίουσα σφοδρῶς, ὥστε ἀπὸ τῶν

1 ὼσ ἐδι ετάχθησαν· | 5 τῶι ἁγιωτάτωι (ἐπισκόπω καὶ) | ἁμαρτωλὸσ (καὶ) | 6 οὗ] ὃν σὺ | 9 [εἰς] | 10 ἀνθρώποις] ἁμαρτωλοῖσ | 11 ἔχεισ | 13 τὸ φρέαρ ὼσ ἐπίστασαι ἐπαρρ. | 15 θεοῦ (εὐσπλάγχνου καὶ φιλανθρώπου) | 17 εἴ τισ,ἂν εἶ | 18 θῶι (μου) | πλὴν] πάλιν | 19 θελήσειϲ | 28 τῆσ δὲ ἐλθούσησ

πολλῶν αὐτῆς δακρύων τοὺς πόδας τοῦ ἁγίου πλύνεσθαι, αὐτὴ δὲ ταῖς θριξὶ κατέμασσεν· ἀλλὰ καὶ χοῦν ἀπὸ τῆς γῆς αἴρουσα τῇ κεφαλῇ αὐτῆς ἐπέβαλεν· καὶ μετὰ κραυγῆς καὶ ἤθους πρὸς τὸν ἅγιον ἐβόα· Δέομαί σου, δέσποτα, ἐλέησόν με τὴν ἁμαρτωλόν· μίμησαί σου τὸν καθηγητὴν Ἰησοῦν Χριστόν, καὶ ἔκχεον ἐπ' ἐμὲ τὴν χρηστότητά σου. μὴ ἀπαξιώσῃς με τὴν ἀνάξιον ποιῆσαι χριστιανήν· ἐγὼ γάρ εἰμι, δέσποτα, τὸ πέλαγος τῶν ἁμαρτιῶν, ἐγώ εἰμι ἡ ἄβυσσος τῆς ἀνομίας· παρακαλῶ οὖν σέ, τοῦ ἀληθινοῦ θεοῦ μαθητά, μὴ βδελύξῃ με τὴν ῥερυπωμένην ἀλλὰ κάθαρόν με ἐν τῇ κολυμβήθρᾳ τοῦ ἁγιάσματος.

ταῦτα αὐτῆς ἐκ συνοχῆς καρδίας διὰ δακρύων πολλῶν λεγούσης οἱ συνελθόντες ἐπίσκοποι πάντες καὶ οἱ κληρικοὶ ἐξεχέαμεν δάκρυα πολλὰ ἐπὶ τῇ τοιαύτῃ ἀθρόᾳ καὶ θαυμασίᾳ μεταβολῇ, ὥστε πολλοὺς θαυμάζοντας λέγειν μηδέποτε πόθον | τοιοῦτον καὶ πίστιν 196v
ὁλόψυχον ἑωρακέναι. μόλις δὲ αὐτὴν ἴσχυσεν πεῖσαι ὁ τοῦ θεοῦ VIII
δοῦλος ἀναστῆναι ἀπὸ τῶν ποδῶν αὐτοῦ, καὶ λέγει αὐτῇ· Οἱ κανόνες τῆς ἐκκλησιαστικῆς λειτουργίας περιέχουσιν μὴ βαπτίζειν πόρνην χωρὶς ἐγγυητῶν, ἵνα μὴ πάλιν ἐν τοῖς αὐτοῖς εὑρεθῇ περιπίπτουσα.

καὶ ἅμα τῷ ἀκοῦσαι αὐτὴν τοῦτον τὸν λόγον ῥίπτει πάλιν ἑαυτὴν εἰς τὸ ἔδαφος καὶ ἐπιλαμβάνεται τῶν ποδῶν αὐτοῦ λέγουσα μετὰ πολλῶν δακρύων· Λόγον ἀποδώσεις ὑπὲρ ἐμοῦ πρὸς τὸν θεὸν καὶ σοὶ ἐπιγράψει τὰς πονηράς μου πράξεις, ἐὰν ὑπέρθῃ τοῦ φωτισθῆναί με τὴν ἀσεβῆ· καὶ μὴ εὕρῃς μερίδα παρὰ κυρίου, ἐὰν μὴ ἄρτι ποιήσῃς με ἀλλοτρίαν τῶν ἔργων μου καὶ τοῦ πεφαυλισμένου μου βίου· ἀρνήσει τὸν θεόν σου, ἐὰν μὴ σήμερον ἀναγεννήσας με προσαγάγῃς νύμφην Χριστῷ.

ἅπαντες οὖν οἱ συνελθόντες ἐπίσκοποι καὶ οἱ σὺν αὐτοῖς ἐδόξαζον τὸν φιλάνθρωπον θεὸν βλέποντες αὐτὴν φλεγομένην ὑπὸ τοῦ θεϊκοῦ πόθου καὶ φθεγγομένην τοιαῦτα. παραχρῆμα δὲ ἀποστέλλει

1 f. ἐξέμασεν δὲ αὐτοὺσ ταῖσ θριξὶν αὐτῆσ | 3 ἤθουσ (καὶ αὐτοὺσ τοὺσ λίθουσ εἰσ ἔλεον μετὰβάλων) | 11 διὰ] καὶ | 14 (μετἐκπλήξεωσ) λέγειν | 15 (πόρνησ) ἑορακέναι | 18 (ἡμᾶσ) πόρνην | [περιπίπτουσα] | 24 εὑρήσεισ | 26 [ἀναγεννήσας] | 30 ταῦτα

ὁ ἅγιος τοῦ θεοῦ ἐμὲ τὸν ἁμαρτωλὸν διάκονον πρὸς τὸν ἐπίσκοπον τῆς πόλεως τοῦ γνωρίσαι αὐτῷ πάντα καὶ ὅπως καταξιώσῃ ἡ ἁγιωσύνη αὐτοῦ μίαν τῶν διακονισσῶν ἀποστεῖλαι. ἀπελθὼν οὖν ἀπήγγειλα ταῦτα τῷ ἐπισκόπῳ· ὅς περ ἀκούσας ἐχάρη χαρὰν μεγάλην σφόδρα καὶ ἀπέστειλεν λέγων τῷ κυρίῳ Νόννῳ· Ναὶ πάτερ τίμιε, σοὶ γὰρ ἔμενεν τὸ ἔργον τοῦτο· οἶδα δὲ ὅτι στόμα θεοῦ εἶ τοῦ
197r *εἰπόντος "ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξί|ου, ὡς στόμα μου ἔσῃ". καὶ οὕτως ἀπέστειλεν σὺν ἐμοὶ τὴν κυρίαν Ῥωμάναν τὴν πρώτην τῶν διακονισσῶν.*

ἐλθόντες δὲ ἅμα εὕρομεν αὐτὴν χαμαὶ κειμένην παρὰ τοὺς πόδας τοῦ ἐπισκόπου. μόλις δὲ αὐτὴν ἔπεισεν ἡ κυρία Ῥωμάνα εἰποῦσα· Ἀνάστα τέκνον, ἵνα ἐφορκισθῇς. καὶ λέγει αὐτῇ ὁ τοῦ θεοῦ δοῦλος· Ἐξομολόγησαι τὰς ἁμαρτίας σου πάσας. ἡ δὲ εἶπεν αὐτῷ· Ἐὰν ἐρευνήσω τὸ συνειδός μου, οὐδ' ἕν ποτε εὑρίσκω ἀγαθὸν ἐν ἐμοὶ πεπραγμένον· τὰς δὲ ἁμαρτίας μου οἶδα ὅτι ἄμμου παραλίου πλεονάζουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ὕδωρ τῆς θαλάσσης ὀλίγον ἐστὶν πρὸς τὰς ἁμαρτίας μου εἰκαζόμενον· πέπεισμαι δὲ περὶ τοῦ θεοῦ σου, ὅτι ἡ φιλανθρωπία αὐτοῦ ἀνείκαστος οὖσα συμπαθήσει τὸ πλῆθος τῶν ἀνομιῶν μου. τότε λέγει ὁ ἐπίσκοπος· Εἰπέ, τί τὸ ὄνομά σου; καὶ λέγει· [τὸ ἐκ γενετῆς μου ὄνομα] Πελαγία ἐκλήθην ὑπὸ τῶν γονέων μου· ἡ δὲ πόλις Ἀντιοχέων Μαργαριτώ με ὠνόμασαν διὰ τὸν ὄγκον τῶν κοσμίων ὧν ἐκαλλώπισάν με αἱ ἁμαρτίαι μου· ἐγὼ γὰρ ἤμην τὸ κεκοσμημένον ἐργαστήριον τοῦ διαβόλου. πάλιν λέγει αὐτῇ ὁ ἐπίσκοπος· Τὸ ἐκ γενετῆς ὄνομά σου Πελαγία ἐστίν; λέγει αὐτῷ· Ναὶ κύριε. καὶ μετὰ τοῦτο ἐφώρκισεν αὐτὴν καὶ φωτίσας ἔχρισε τῷ ἁγίῳ μύρῳ καὶ μετέδωκεν αὐτῇ τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ Χριστοῦ. γίνεται δὲ αὐτῆς μήτηρ πνευματικὴ ἡ κυρία Ῥωμάνα ἡ διά-

1 *διάκονον (αὐτοῦ ἰάκωβον)* | *τὸν ἀρχιεπίσκοπον τοῦ* | 4 *ἅ περ ἀκούσασ (πάντα)* | 5 *κυρῶι* | 6 *οἶδασ* | *ἣν τὸ εἰπὼν· ἐὰν* | 7 [*ὡς*] | 10 *(καὶ κλαίουσαν) παρα* | 12 *καὶ (ἀναστήσασα αὐτὴν) λέγει* | 14 *ἐὰν*] *εἰ* | *οὐδέποτε εὑρήσω* | 15 *αἱ δὲ ἁμαρτίαι μου (πᾶσαι)* | *ἄμμον παράλιον* | 19 *μου (καὶ τῶν κακῶν μου)* | 20 *ἐκγεννητοίσ* | 21 *ἐκλήθη* | 22 *μαργαριτῶ*, auch 12, 1 | *ὀνόμασεν* | *ὃν* | 23 *γάρ εἰμι τὸ* | 24 *αὐτὴν* | *γεννητοῖσ* | 28 *κυρὰ* | *διακόνισα*

κονος· καὶ οὕτως παρα|λαμβάνει αὐτὴν καὶ ἀνέρχεται ἐν τῷ κατη- 197v *χουμενείῳ διὰ τὸ καὶ ἡμᾶς μένειν ἐκεῖ μετὰ τῶν λοιπῶν ἐπισκόπων.*

τότε λέγει μοι ὁ ἐπίσκοπος· Ὄντως, ἀδελφὲ διάκονε, συνευφρανθῶμεν σήμερον μετὰ τῶν ἀγγέλων τοῦ θεοῦ, καὶ ἐλαίου παρὰ συνήθειαν μεταλάβωμεν καὶ πίωμεν οἶνον μετ' εὐφροσύνης πνευματικῆς διὰ τὴν σωτηρίαν τῆς κόρης ταύτης. IX *γευσαμένων δὲ ἡμῶν ἔρχεται ὁ διάβολος γυμνός, καὶ τὰς χεῖρας ἔχων ἐπὶ τῆς κεφαλῆς καὶ κράζων ἔλεγεν· Ὦ βία ἀπὸ τοῦ φαγοπολίου καὶ λήρου τούτου· οὐκ ἤρκεσάν σοι αἱ τριάκοντα χιλιάδες τῶν Σαρακηνῶν, ἃς ἀπέσπασας ἀπ' ἐμοῦ καὶ φωτίσας προσήνεγκας τῷ θεῷ σου; οὐκ ἤρκεσέ σοι Ἡλιούπολις ἡ ἐμή, ὅτι πάντας τοὺς ἐν αὐτῇ προσήνεγκας τῷ θεῷ σου; ἀλλὰ καὶ ἣν εἶχον τελείαν ἐλπίδα ἀπέκοψας ἀπ' ἐμοῦ; ὦ βία ἀπὸ τοῦ κακογήρου τούτου· οὐκέτι φέρω τὰς ἐπιβουλάς σου· ἐπικατάρατος ἡ ἡμέρα ἐκείνη, ἐν ᾗ σὺ κακῶς ἐγεννήθης· ὁ ποταμὸς τῶν δακρύων σου προσρήξας τῷ ἀσθενεῖ μου οἴκῳ τὰς ἐλπίδας μου πάσας παρέσυρεν. ταῦτα δὴ πάντα ἔλεγεν ὁ διάβολος μετὰ κραυγῆς ἰσχυρᾶς καὶ ὀδυρμῶν, ἀκουόντων πάντων τῶν τε ἐπισκόπων καὶ κληρικῶν καὶ τῆς διακόνου, ἀλλὰ μὴν καὶ αὐτῆς τῆς νεοφωτίστου. πάλιν λέγει ὁ διάβολος πρὸς τὴν κόρην· Ταῦτ' ἐμοί, κυρία Πελαγία; καὶ σὺ τὸν ἐμὸν Ἰούδαν ἐμιμήσω; ἐκεῖνος γὰρ δό|ξῃ καὶ τιμῇ στεφανωθεὶς καὶ ἀπόστολος ὢν παραδέ-* 198r *δωκεν τὸν ἴδιον δεσπότην· οὕτως οὖν καὶ σὺ ἐμὲ ἐποίησας. τότε ὁ ἐπίσκοπος Νόννος λέγει τῇ δούλῃ τοῦ θεοῦ Πελαγίᾳ· Καταφραγισαμένη ἐπιτίμησον αὐτῷ. καὶ τοῦτο ποιησάσης εὐθὺς ἄφαντος ἐγένετο ἀπ' αὐτῆς.*

X *καὶ μετὰ δύο ἡμέρας ἔρχεται πάλιν ὁ διάβολος καθευδούσης αὐτῆς ἐν τῷ κοιτῶνι μετὰ τῆς μητρὸς αὐτῆς, καὶ ἐξυπνίζει τὴν*

1 *ἀπέρχεται* | *κατηχουμενίωι* | 2 *εἰκεῖσε* | 3 *ὄντωσ κύρι διάκων* | 11 *σοι (ἡ)* | [*ἡ ἐμή*] | 12 *εἶχα μίαν μεγάλην ἐλπ.* | 14 *ἐγεννήθησ (ἐπάνω μου)* | 16 *ἐπέσυρεν* | *δὲ* | 18 *διακονίσης* | 19 *νεοφωτίστου (κόρησ)* | 20 *ταῦτά μοι (ἀπέδωκασ) κυρὰ* | 23 *ὁ (τοῦ θεοῦ ἄνθρωποσ καὶ)* | 24 *αὐτὸν (ἐν τῷ ὀνόματι τοῦ κυρίου ἰησοῦ καὶ ἄφαντοσ γενήσεται ἀπὸ σοῦ·)* | *ποιήσασα (ἡ δούλη τοῦ χριστοῦ)* | 25 *ἀπ' αὐτῆσ (ὁ διάβολοσ)* | 26 *καὶ ἰδοὺ πάλιν ἔρχεται μεταδύο ἡμ. καθευδούσησ*

δούλην τοῦ θεοῦ καὶ λέγει· Κυρία μου Μαργαριτώ, τί σοι κακὸν ἐποίησα; οὐχὶ διὰ χρυσοῦ καὶ μαργαριτῶν σε ἠμφίασα; ἀργύριόν σοι καὶ χρυσίον οὐκ ἐπλήθυνα; δέομαί σου, τί ἐστιν ὃ ἐλύπησά σε; ἀποκρίθητί μοι, κἀγώ σοι προσπίπτω καὶ ἀπολογοῦμαι. μόνον μὴ ἐγκαταλίπῃς με καὶ γένωμαι γέλως τῶν Χριστιανῶν. ἡ δὲ δούλη τοῦ θεοῦ κατασφραγισαμένη καὶ ἐμφυσήσασα αὐτῷ ἄφαντον ἐποίησεν αὐτὸν εἰποῦσα· Ἐπιτιμήσαι σοι κύριος Ἰησοῦς Χριστός, ὁ ἁρπάσας με ἐκ μέσου τῶν ὀδόντων σου καὶ περιποιησάμενός με εἰς τὸν ἐπουράνιον αὐτοῦ νυμφῶνα. τότε ἐξυπνίσασα Ῥωμάναν τὴν διάκονον λέγει πρὸς αὐτήν· Εὔχου, μῆτερ, ὑπὲρ ἐμοῦ, ὅτι ὡς λέων ἐπέρχεται ὁ διάβολος κατ' ἐμοῦ. ἡ δὲ ἔφη αὐτῇ· Θάρσει, τέκνον· καὶ μὴ δειλιάσῃς ἀπ' αὐτοῦ· ἐκεῖνος γὰρ ἀπὸ τοῦ νῦν καὶ
198v τὴν σκιάν σου φοβεῖται καὶ τρέμει. |

XI καὶ τῇ τρίτῃ ἡμέρᾳ καλεῖ ἡ Πελαγία τὸν παῖδα αὐτῆς τὸν ἄρχοντα τῶν πραγμάτων αὐτῆς καὶ λέγει αὐτῷ· Ἄπελθε ἐν τῷ οἴκῳ καὶ ἀνάγραψαι πάντα ὅσα ἐστιν ἐν τῷ βεστιαρίῳ μου, καὶ τὸ χρυσίον μου καὶ τὰ κόσμιά μου φέρε ὧδε. ἀπελθὼν δὲ ὁ παῖς ἐποίησεν κατὰ τὰ διαταχθέντα αὐτῷ καὶ ἤνεγκε πάντα τῇ κυρίᾳ αὐτοῦ. τότε μεταστειλαμένη τὸν ἅγιον ἐπίσκοπον Νόννον διὰ τῆς μητρὸς αὐτῆς πᾶσαν τὴν ἐξουσίαν τῆς οἰκίας αὐτῆς ἔδωκεν εἰς τὰς χεῖρας αὐτοῦ εἰποῦσα· Οὗτός ἐστιν ὁ πλοῦτος, κύριε, ὃν με ἐπλούτισεν ὁ σατανᾶς διὰ τῆς ἁμαρτίας· τοῦτον δίδωμι τῇ γνώμῃ τῆς σῆς ἁγιωσύνης· ἐμοὶ γὰρ ἀπὸ τοῦ νῦν ἀρκεῖ ὁ πλοῦτος τοῦ νυμφίου μου Χριστοῦ. καὶ προσκαλεσαμένη τοὺς παῖδας καὶ τὰς παιδίσκας, δοῦσα ἑκάστῳ καὶ ἑκάστῃ διὰ χειρὸς ἰδίας χρυσίον ἱκανὸν εἶπεν αὐτοῖς· Ἐγὼ μὲν ἠλευθέρωσα ὑμᾶς ἀπὸ τῆς προσκαίρου δουλείας· ὑμεῖς δὲ σπεύσατε ἐλευθερῶσαι ἑαυτοὺς ἀπὸ τῆς δουλείας τῆς ἁμαρτίας τοῦ κόσμου. καὶ οὕτως ἀπέλυσεν αὐτούς. ὁ δὲ ἁγιώτατός μου ἐπίσκοπος μετακαλεσάμενος τὸν οἰκονόμον τῆς

1 λέγει (αὐτήν·) | 2 χρυσίου | 3 ἐπλήθυνα (ἀνείκαστον) | 4 σε] σοι | 7 ἐπιτιμήσει | (ὁ) κύριόσ (μου) | 8 (διάβολε) ὁ | 9 (τὴν κυρὰν) ῥωμάναν | 10 μῆτερ (ἐμὴ πνευματική) | 16 ἀνάγραψε (ἐν χάρτι) | ἐστὶν | 18 ἤνεγκεν αὐτὰ | 19 ἁγιώτατον | 20 (τῆσ διακονίσησ) πᾶσαν | 21 (μου) ἐστὶν | 23 τῆι σῆι ἁγιώτατε

ἐκκλησίας ἐνώπιον αὐτῆς ἔδωκεν αὐτῷ τὴν ἐξουσίαν πᾶσαν τῆς οὐ-
σίας αὐτῆς εἰπὼν αὐτῷ· Ὁρκίζω σε κατὰ τῆς ἁγίας τριάδος, ὅπως
μηδὲν ὅλως ἀπὸ τῆς οὐσίας ταύτης εἰσέλθῃ εἰς τὴν ἐκκλησίαν μήτε
εἰς τὸ ἐπισκοπεῖον, ἀλλ' εἰς πτω|χοὺς καὶ πένητας· καὶ χήραις καὶ 199r
ὀρφανοῖς διάδος αὐτά, ἵνα τὰ κακῶς συναχθέντα διοικηθῶσιν καλῶς
καὶ οὕτως ὁ τῆς ἀνομίας πλοῦτος γένηται θησαυρὸς δικαιοσύνης.
ἡ δὲ τοῦ θεοῦ δούλη Πελαγία οὐκ ἔφαγεν ἐκ τῶν αὐτῆς
οὐδὲν τὰς ἑπτὰ ἡμέρας, ἀλλ' ἔτρεφεν αὐτὴν ἡ κυρία Ῥωμάνα· ἐν
ὅρκῳ γὰρ εἶχεν τοῦ μὴ γεύσασθαί τι ἐξ οὗ εἶχεν τῆς ἁμαρτίας
πλούτου. ἐπιφωσκούσης δὲ τῆς ὀγδόης ἡμέρας, ἥ τις ὑπῆρχεν κυ- XII
ριακή, ἀποδύεται μὲν ἣν ἐφόρει στολὴν τοῦ βαπτίσματος καὶ ἐν-
δύεται στιχάριον καὶ βιρρίον τρίχινα, γίνεται δὲ ἄφαντος ἐκ τῆς
πόλεως ἡμῶν μὴ εἰδότων. ἡ οὖν πνευματικὴ αὐτῆς μήτηρ ἔκλαιεν
πικρῶς καὶ ὠδύρετο δι' αὐτήν· ὁ δὲ ἁγιώτατος ἐπίσκοπος Νόννος
παρεμυθεῖτο αὐτὴν λέγων· Μὴ κλαῖε ἀλλὰ χαῖρε καὶ ἀγαλλία·
Πελαγία γὰρ τὴν ἀγαθὴν ἐξελέξατο μερίδα ὥσπερ Μαρία.
μετὰ οὖν ὀλίγας ἡμέρας ἀπέλυσεν ὁ ἐπίσκοπος τῆς πόλεως XIII
πάντας τοὺς ξένους ἐπισκόπους εἰς τὰ ἴδια, ἀπήλθομεν δὲ καὶ ἡμεῖς
εἰς τὴν ἐπισκοπήν.
μετὰ δὲ τριετῆ χρόνον ἔλαβέν με πόθος χάριν εὐχῆς εἰς τὰ
Ἱεροσόλυμα ἀπελθεῖν τοῦ προσκυνῆσαι τὴν ἁγίαν ἀνάστασιν τοῦ
κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ παρεκάλεσα τὸν ἁγιώ-
τατόν μου ἐπίσκοπον τὸν κύριον Νόννον· καὶ ἀπέλυσέν με καὶ λέ-
γει μοι· Ἀδελφὲ διάκονε, ἐὰν ἀπέρχῃ, ζήτησον Πελάγιον ὀνό-
ματι μονάζοντα εὐνοῦχον, | ὃς ἔχει ἔτη πολλὰ ἀσκούμενος, ἐγκατά- 199v
κλειστος ὑπάρχων· καὶ σύντυχε αὐτῷ, καὶ ἔχεις ἐξ αὐτοῦ ὠφελη-
θῆναι· αὐτὸς δέ μοι ἔλεγεν περὶ τῆς δούλης τοῦ θεοῦ καὶ οὐκ
ἐφανέρωσέν μοι.

1 δέδωκεν | 3 οὐσίασ αὐτῆσ | 5 διάδωσ | καλῶσ (ἐν κῷ) | 6 καὶ ὁ πᾶσ τῆσ ἁμαρτίασ | θησαυρὸσ (τῆσ) | 12 βερὶν | 16 ἡ γὰρ πελαγία | μαρία (τὸ πρώτερον) | 17 ὁ ἀρχιεπίσκοποσ | πόλεωσ (ἀντιοχείασ) | 18 [ξένους] | ἀπελθόντεσ | 19 f. ἐπισκοπὴν μετὰ τριῶν χρόνων παρέλευσιν ἔλ. | 21 (καὶ) τὴν | 22 παρακαλέσασ | 23 κύριν νώνον ἀπέλυσέν με (τοῦ ἀπελθεῖν) | 24 διάκων ἐὰν

XIV καὶ ἀναστὰς ἔφθασα εἰς τοὺς ἁγίους τόπους καὶ προσεκύνησα
τὸν τίμιον σταυρὸν καὶ τὴν ἁγίαν ἀνάστασιν. καὶ τῇ ἐπαύριον ἐζή-
τησα τὸν ἅγιον Πελάγιον, καὶ εὑρὼν ἐπέστην τῇ κέλλῃ αὐτοῦ εἰς
τὸ ὄρος τῶν ἐλαιῶν, ὅπου ὁ κύριος προσηύξατο. ὡς δὲ εἶδον τὴν
κέλλαν ὅτι θύραν εἰσόδου οὐκ εἶχεν ἀλλὰ πανταχόθεν περιπέφρακτο,
μικρὰν δὲ μόνον μίαν θυρίδα εἶχεν καὶ αὕτη ὑπῆρχεν ἠσφαλι-
σμένη, κρούσαντός μου ἠνοίγη μοι· καὶ ἰδοῦσά με ἡ ὄντως δούλη
τοῦ θεοῦ ἐγνώρισέν με [ἀλλ' οὐκ ἐφανέρωσέ μοι ἑαυτήν]· ἐγὼ δὲ
αὐτὴν οὐδαμῶς ἐγνώρισα. καὶ πῶς γὰρ ἠδυνάμην γνωρίσαι κάλλος
ἀμήχανον καὶ θαυμαστὸν μαρανθὲν οὕτως ὑπὸ τῆς σφοδροτάτης
ἐγκρατείας καὶ ὡσεὶ κηρὸς ἐκτακέν; οἱ γὰρ ὡραιότατοι ἐκεῖνοι αὐτῆς
ὀφθαλμοὶ νῦν ὡς φάραγγες ἔσω που μόλις ἐφαίνοντο· αἱ δὲ τῆς
εὐειδοῦς αὐτῆς ὄψεως ἁρμονίαι ἀπὸ τῆς ὑπερβαλλούσης κακουχίας
διάλυτοι ἐγεγόνεσαν [ὁμοίως καὶ τὸ λοιπὸν αὐτῆς σῶμα]. πᾶσα δὲ
Ἱεροσόλυμα ὡς περὶ ἀνδρὸς εὐνούχου εἶχον ὑπόληψιν ἀγαθὴν
περὶ αὐτῆς καὶ οὐδεὶς ἀνθρώπων ὑπελάμβανεν αὐτὴν εἶναι γυ-
ναῖκα, ἀλλ' οὐδὲ ἐγώ τι τοιοῦτον ἐνόησα· ηὐλογήθην δὲ παρ' αὐ-
200r τῆς ὡς παρ' ἀνδρός, καὶ μετὰ ταῦτα λέγει μοι· Κύρι ἀδελ|φέ, αὐ-
τὸς οὐκ εἶ τοῦ κυρίου Νόννου τοῦ ἐπισκόπου; καὶ εἶπον· Ναί,
τίμιε πάτερ. καὶ λέγει μοι· Εὔχηται ὑπὲρ ἐμοῦ· καὶ γὰρ ἀπό-
στολος τοῦ κυρίου ἐστὶν ὁ τίμιός σου ἐπίσκοπος. εἶτα εἰποῦσα
πάλιν Εὔχου ὑπὲρ ἐμοῦ, κύρι ἀδελφέ ἔκλεισεν τὴν θυρίδα καὶ
ἤρξατο ψάλλειν τὴν τρίτην· ἐγὼ δὲ σταθεὶς καὶ εὐξάμενος παρὰ
τὴν κέλλαν αὐτῆς ἀνεχώρησα ἐκεῖθεν ὠφεληθεὶς τὰ μέγιστα τῇ
ἀγγελικῇ αὐτῆς συντυχίᾳ, μηδ' ὅλως ὑπολαβών τι περὶ αὐτῆς. ἤμην
δὲ καθ' ἡμέραν ἀπερχόμενος εἰς τὰ μοναστήρια χάριν εὐχῆς καὶ
XV τοῦ εὐλογηθῆναι παρὰ τῶν ἁγίων πατέρων· καὶ ἐλαλεῖτο πανταχοῦ
ἐν τοῖς μοναστηρίοις ἡ φήμη τοῦ ὁσίου Πελαγίου.

6 μόνην | ἐσφαλισμένη | 7 ἠνοίγει | 8 θεοῦ (καὶ νύμφη) ἐγνωρισέν μοι | 12 ἐσό ποῦ | ἐφαίνοντο (ὑπὸ τῶν ὁρώντων αὐτήν) | 13 εὐηδοὺσ | 14 διαύγεισ γεγόνασιν | δὲ (ἡ) | 15 ὥσπερ ἀνδρὸσ | 17 εὐλογήθην | 18 ὥσπερ ἀνδρὸσ (εὐνούχου) | μοι· (εὔχου ὑπὲρ ἐμοῦ) | αὐτὸσ nach εἶ | 20 εὔχεσθαι | 22 [τὴν τρίτην] | 24f. (εἰσ) τὴν ἀγγελικὴν αὐτῆσ (πολιτείαν καὶ) συντυχίαν

ἀπελθὼν δὲ πάλιν καὶ τὴν δευτέραν ἡμέραν πρὸς τὴν κέλλαν αὐτῆς τοῦ εὐλογηθῆναι οὐκ ἔτυχον ἀποκρίσεως. καὶ τῇ τρίτῃ ἡμέρᾳ εἶπον ἐν ἐμαυτῷ· Ἰδοὺ καὶ ἅπαξ ἤδη καὶ δεύτερον ἐλθὼν οὐδὲ ἀποκρίσεως ἔτυχον· μὴ ἄρα ἀνεχώρησεν ὁ τοῦ θεοῦ δοῦλος ἐκεῖνος; καὶ τοῦτο λέγων ἔβλεπον πανταχόθεν καὶ τὸ κελλίον· ὡς δὲ ἦν οὐδαμοῦ ἔξοδος, πάλιν εἰς ἕτερον ἦλθον λογισμόν, θεϊκωτέραν ἀναλαβὼν ἔννοιαν, μὴ ἄρα, λέγων ἐν ἐμαυτῷ, ἀπέθανεν ὁ ἐνταῦθα ὢν ἅγιος μοναχός; καὶ περιεσκόπουν ἀκριβῶς εἴ πως ἰσχύσω ἰδεῖν τι διὰ τῆς θυρίδος· ὡς δὲ οὐ μόνον οὐδὲν ἔβλεπον ἀλλ' οὐδὲ ἤκουσά τινος ἔσωθεν ἢ ψάλλοντος ὡς τὸ πρότερον ἢ μέχρι καὶ ψιλοῦ πνεύματος, ἔγνων ἀποχρῖσαι τὴν θυρίδα καὶ ἰδεῖν ἀκριβέστερον. καὶ τοῦτο ποιήσας παρέκυψα, | 200v *καὶ ἰδοὺ ὁρῶ τὸν ἅγιον τεθνηκότα καὶ εὐσχημόνως ἡπλωμένον ἐπὶ τῆς γῆς· καὶ οὕτως πάλιν κλείσας τὴν θυρίδα καὶ πηλῷ χρίσας ἦλθον δρομαῖος εἰς τὰ Ἱεροσόλυμα δοξάζων τὸν θεὸν καὶ ἀπαγγέλλων τοῖς ἐκεῖσε οἰκοῦσιν τὴν κοίμησιν τοῦ ἁγίου Πελαγίου τοῦ σημειοφόρου μοναχοῦ. εὐθὺς δὲ ὅλα τὰ μοναστήρια καὶ ἀπὸ Νικοπόλεως καὶ ἀπὸ Ἱεριχῶ καὶ πέραν τοῦ Ἰορδάνου συνήχθη πλῆθος πολὺ εἰς τὸ ὄρος τῶν ἐλαιῶν. καὶ οὕτως καταλύσαντες τὴν θύραν τῆς κέλλης ἐξήνεγκαν τὸ ἅγιον καὶ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺ τιμιώτερον λείψανον καὶ μετὰ πάσης τιμῆς καὶ φόβου ἅπαντες ἀσπασάμενοι αὐτὸ ἔθηκαν ἐπὶ σκαμνίον. ὁ δὲ ἁγιώτατος ἐπίσκοπος ἐκεῖσε καὶ αὐτὸς ἐλθὼν [Ἱεροσολύμων] ὁμοίως καὶ οἱ τίμιοι πατέρες ἐν τῷ σχηματίζειν αὐτὸν πρὸς τὴν κηδείαν καὶ χρίειν τῷ μύρῳ ἔγνωσαν ὅτι γυνὴ ἦν ἀληθῶς τῇ φύσει, καὶ ἀνέκραξαν φωνῇ μεγάλῃ πάντες· Δόξα σοι ὁ θεός, ὅτι πολλοὺς ἔχεις ἁγίους κρυπτοὺς ἐπὶ τῆς γῆς οὐ μόνον ἄνδρας ἀλλὰ καὶ γυναῖκας. καὶ οὕτως ἐγνώσθη παντὶ τῷ συνελθόντι λαῷ τὸ τοιοῦτον θαῦμα. συνήχθησαν δὲ καὶ πάντα τὰ τῶν παρθένων μοναστήρια· καὶ μετὰ κηρῶν καὶ θυμιαμάτων συνεκομίσθη τὸ ἅγιον*

3 *ἐλθόντοσ μου οὐδὲ* | 4 *ἄρα*, auch 7 | *ἀνεχώρισεν* | 11 *ψιλοῦτινόσ*, | *ἀποχρῆσαι* | 12 *παρέκυμψα* | 14 *χρήσασ* | *δρομαίωσ* | 17 *νικόπολιν* | 20 *πολὺν* | *λείψανον (τοῦ ἁγίου)* | 21 *αὐτὸ** | *ἐπισκαμνίον·* | 22 *ἀρχιεπίσκοποσ* | 29 *(τίμιον καὶ) ἅγιον*

αὐτῆς λείψανον χερσὶν ἁγίων πατέρων καὶ ἐτέθη ἐν τόπῳ σεμνῷ καὶ ἁγίῳ.

Οὗτος ὁ βίος τῆς πόρνης, αὕτη ἡ πολιτεία τῆς ἀπεγνωσμένης· μεθ' ἧς καὶ ἡμᾶς δῴη ὁ κύριος εὑρεῖν ἔλεος ἐν ἡμέρᾳ κρίσεως· ὅτι αὐτοῦ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1 *χερσὶ* | 2 *ἁγίωι· (εἰσ δόξαν τοῦ κυρίου ημῶν καὶ θεοῦ ἰησοῦ χριστοῦ·)* | 4 *δόει.*

Μαρτύριον τῆς ἁγίας μάρτυρος Πελαγίας τῆς παρθένου. f. 104v

Τοῦ πρώην διωγμοῦ ἀνανεωθέντος ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καθ' ὅλης τῆς οἰκουμένης πολλοὶ ὡς εἰπεῖν καὶ ἀναρίθμητοι ἀκούσαντες ἔφυγον ἐν τοῖς ὄρεσι φοβούμενοι τὸν θυμὸν τοῦ βασιλέως· οἱ μέντοι στερεοὶ τῇ πίστει καὶ φοβούμενοι τὸν θεὸν ἔμειναν ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις εὐχόμενοι τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα νικῆσαι. ὁ δὲ μακάριος καὶ ὅσιος Κλίνων ἦν βαπτίζων καὶ παραθαρσύνων ἕνα ἕκαστον τῶν βουλομένων διώκειν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· διέδραμεν δὲ αὐτοῦ ἡ φήμη ἐν ὅλῃ τῇ ἀνατολῇ. ἦλθεν δὲ καὶ ἐν Ταρσῷ τῇ πόλει τῆς Κιλικίας ὁ ἐπίσκοπος καὶ ἐβάπτισεν ὄχλον πολύν. ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας τοῦ μακαρίου ὄντος ἐν τῇ πόλει ἀκοῦσαι τὸν βασιλέα τὰ κατ' αὐτόν, ὅτι πολλοὺς ἀποστρέφει ἀπὸ τῶν θεῶν καὶ προσάγει τῷ ἰδίῳ θεῷ. καὶ ἐκέλευσεν κλεισθῆναι τὰς πύλας καὶ συλλη|φθῆναι αὐτόν. ὁ δὲ f. 105r *μακάριος ἐπίσκοπος Κλίνων δι' ἀποκαλύψεως ἐξῆλθεν τῆς πόλεως μηδενὸς θεωρήσαντος αὐτόν. ζητηθέντος δὲ αὐτοῦ ὑπὸ τῶν στρατιωτῶν ἐν ὅλῃ τῇ πόλει καὶ μὴ εὑρεθέντος ὀργισθεὶς ὁ βασιλεὺς ἐκέλευσε πάντας τοὺς βαπτισθέντας ὑπ' αὐτοῦ ἐγκλεισθῆναι· ἦσαν γὰρ πολλοὶ οὓς ὁ κύριος κατὰ μέρος προσελάβετο.*

παρθένος δέ τις ὀνόματι Πελαγία διαπρέπουσα κατὰ τὸν τοῦ II *θεοῦ φόβον, ἧς τὸ κάλλος ἐξειπεῖν οὐ δυνάμεθα, οἰκοῦσα ἐν τῇ προρρηθείσῃ πόλει, ἤκουσεν αὕτη περὶ τῆς φυγῆς τοῦ μακαρίου ἐπισκόπου καὶ ἐπεθύμει ἰδεῖν αὐτόν. ἀκούσας δὲ ὁ υἱὸς Διοκλητιανοῦ περὶ τοῦ κάλλους αὐτῆς καὶ τῆς πολλῆς εὐπρεπείας ἀπέστειλεν προτίκτορας καὶ στρατιώτας πολλοὺς ὀφείλοντας ἐκδυσωπῆσαι αὐτὴν τοῦ ἐπιδοῦναι ἑαυτὴν αὐτῷ πρὸς γάμου κοινωνίαν. ἡ δὲ μακαρία Πελαγία ποιήσασα τὴν ἐν Χριστῷ σφραγῖδα ἀπώσατο*

19 *κύριος*] vielleicht *μακάριος*   22 lies *ἤκουσε καὐτή*

αὐτοὺς λέγουσα· Μεμνήστευμαι τῷ υἱῷ τοῦ θεοῦ. καὶ ἀπελθόντες ἀνήγγειλαν τῷ υἱῷ τοῦ βασιλέως ταῦτα. καὶ ἐθυμώθη ὀργῇ μεγάλῃ κατ' αὐτῆς· καὶ παραυτὰ μὲν ἐσιώπησεν ταμιευσάμενος τὸν καιρόν.

ἡ δὲ ἁγία Πελαγία εἰσελθοῦσα πρὸς τὴν μητέρα αὐτῆς εἶπεν· Μῆτερ, διὰ πολλοῦ χρόνου θέλω τὴν τροφόν μου ἰδεῖν. ἠβούλετο δὲ ἡ ἁγία Πελαγία τῇ ἀφορμῇ τῆς τροφοῦ ἀπελθεῖν πρὸς τὸν ἐπίσκοπον τὸν ἄνθρωπον τοῦ θεοῦ· ἣν γὰρ ἀκούσασα παρά τινων εἰς ποῖον τόπον ἐστίν. ἡ δὲ μήτηρ αὐτῆς ἐξ ἐνεργείας τοῦ πονηροῦ διεκώλυσεν καὶ οὐ συνεχώρησεν αὐτὴν ἀπελθεῖν, λέγουσα· Νῦν οὐ
III δύνῃ, τέκνον, ἀλλ' ἀπελεύσῃ εὐκαίρως. ὁ δὲ κύριος διὰ τῆς νυκτὸς ἀπεκάλυψεν τῇ Πελαγίᾳ τὴν ἰδέαν τοῦ μακαρίου ἐπισκόπου Κλίνωνος· καὶ ἐθαύμασεν τὴν ὑπερβάλλουσαν δόξαν τοῦ προσώπου αὐτοῦ. ὡς δὲ οὐκ ἀφῆκεν τέως ἡ μήτηρ αὐτὴν ἀπελθεῖν πρὸς τὴν τροφόν, ἀπέστειλεν λάθρᾳ τοὺς ἑαυτῆς δούλους εἰς τὴν φυλακὴν πρὸς τοὺς ἐγκεκλεισμένους, οὓς προσέταξεν ὁ βασιλεὺς ἐγκλεισθῆναι, τοὺς ὑπὸ τοῦ ἐπισκόπου βαπτισθέντας, ἵνα παρ' αὐτῶν μάθῃ τὴν ἀκρίβειαν,
105v ποταπός ἐστι | τῇ ἰδέᾳ ὁ ἐπίσκοπος, δοκιμάσαι θέλουσα τὴν ὀπτασίαν ἣν εἶδεν διὰ τῆς νυκτός· ἐλθόντων δὲ τῶν παίδων καὶ ἀναγγειλάντων αὐτῇ τὸν χαρακτῆρα τῆς ἰδέας αὐτοῦ συνῆκεν πάντα κατὰ τὴν ἰδέαν τὴν ὀφθεῖσαν αὐτῇ ἐν τῇ ὁράσει, καὶ ἐχάρη ἡ ἁγία Πελαγία χαρὰν μεγάλην λέγουσα· Κύριε, τῶν σῶν ἀγαθῶν καταγγελεύς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος, μή με ἀναξίαν ποιήσῃς τῶν μυστηρίων σου. καὶ ταῦτα εὐξαμένη εἰσῆλθεν πρὸς τὴν μητέρα αὐτῆς καὶ λέγει αὐτῇ· Παρακαλῶ σε καὶ νῦν, κυρία μου μῆτερ, τὴν ἐπαγγελίαν σου πλήρωσον, ἣν ἐπηγγείλω μοι λέγουσα ὅτι Εὐκαίρως ἀπελεύσῃ πρὸς τὴν τροφόν σου· ἰδοὺ νῦν καιρός ἐστιν· δεῦρο ἀπόστειλόν με.

IV ἀκούσασα δὲ ἡ μήτηρ τοὺς λόγους τῆς θυγατρὸς ἐλογίσατο ἐν ἑαυτῇ, μήποτε κωλύσασα αὐτὴν ἀπελθεῖν, ἀπὸ τῆς λύπης ἡ θυγάτηρ αὐτῆς εἰς νόσον ἐμπέσῃ. καὶ εὐθέως ἀναστᾶσα μετὰ σπουδῆς ἤνεγκεν πορφύραν βασιλικὴν πεποικιλμένην ἐν λίθοις πολυτελέσι καὶ διαφόροις καὶ τὰ ἀκόλουθα αὐτῆς πάντα, ὡς ἅτε ὁρμαστὴν οὖσαν τοῦ υἱοῦ Διοκλητιανοῦ· καὶ ἐξαπέστειλεν αὐτὴν πορεύεσθαι μετὰ παρατάξεως παίδων καὶ στρατιωτῶν πολλῶν, εἰποῦσα αὐτῇ· Ἄπελθε τέκνον καὶ προσαγόρευσον ἐξ ἐμοῦ τὴν τροφόν σου.

Κατελθοῦσα δὲ ἡ ἁγία Πελαγία καὶ εἰσελθοῦσα ἐν τῷ βαστερνίῳ αὐτῆς ἐπορεύετο χαίρουσα καὶ ἀγαλλιωμένη ἐπὶ τῇ μελλούσῃ προσδοκίᾳ. προκοψάντων δὲ αὐτῶν ὡς μίλια δώδεκα, εἷς τῶν πορευομένων στρατιωτῶν ὀνόματι Λογγῖνος εἶδέν τινα ἐρχόμενον ὑπὸ τὸ σύνδενδρον τοῦ ὄρους, καὶ ἀπὸ τοῦ σχήματος καὶ τῆς δόξης τοῦ προσώπου αὐτοῦ ἐγνώρισεν αὐτόν. καὶ εἶπεν ὁ Λογγῖνος τῷ σὺν αὐτῷ στρατιώτῃ· Ἀδελφὲ Ἰουλιανέ, γνωρίζεις τὸν ἐρχόμενον ἔμπροσθεν ἡμῶν ἄνδρα; οὗτός ἐστιν ὁ ἄνθρωπος τοῦ θεοῦ Κλίνων ὁ θαυματουργὸς τῆς ἀνατολῆς ὅλης, οὗ ἡ φήμη καὶ ἕως τοῦ βασιλέως ἦλθεν, δι' ὃν καὶ ὁ διωγμὸς ἐγένετο τῶν χριστιανῶν ὑπὸ τοῦ βασιλέως. [καὶ] ἦσαν δὲ αὐτοὶ οἱ στρατιῶται Λογγῖνος καὶ Ἰουλιανὸς δοῦλοι τοῦ Χριστοῦ. ἀκούσαντες δέ τινες | τῶν εὐνούχων 106r
λαλούντων τῶν στρατιωτῶν τὰ ῥήματα ταῦτα ἀνήγγειλαν τῇ δεσποίνῃ V
αὐτῶν. ἡ δὲ ἀκούσασα συνῆκεν, καὶ ἐκέλευσεν στῆναι τὸ βαστέρνιον αὐτῆς· καὶ κατελθοῦσα ἀπήρχετο πεζῇ εἰς ἀπάντησιν τοῦ ὁσίου ἀνδρός, φήσασα τοῖς στρατιώταις καὶ τοῖς παισὶν ἡσυχίαν ποιῆσαι καὶ μὴ ταράξαι τὸν ἄνδρα, ἀλλ' ὑποχωρῆσαι καὶ ἀπελθεῖν ὑπὸ τὴν σκιὰν τῶν δένδρων, ἕως οὗ λαλήσῃ τῷ ἀνθρώπῳ τοῦ θεοῦ· ἦσαν γὰρ ἐκεῖ τινες πλείονες ἀμύητοι τῶν μυστηρίων τοῦ Χριστοῦ.

πάντων δὲ ὑποχωρησάντων εἶπεν ἡ ἁγία Πελαγία τῷ ἀνθρώπῳ τοῦ θεοῦ· Χαῖρε, δοῦλε τοῦ Χριστοῦ. ὁ δὲ ἐκπλαγεὶς ἐπὶ τῇ θέᾳ αὐτῆς εἶπεν· Γενέσθω ἡ εἰρήνη τοῦ Χριστοῦ μου μετὰ σοῦ, νεωτέρα. ἡ δὲ πάλιν εἶπεν· Εὐλογημένος ὁ ἀποκαλυφθείς μοι ἐν τῇ εἰκόνι σου ταύτῃ θεός, ὅτι ἀπέστειλέν σε πρός με, ἵνα σώσῃς τὴν ψυχήν μου ἀπὸ ἀπωλείας· καὶ νῦν παρακαλῶ τὸν θεὸν ὃν λατρεύεις, ἵνα μοι εἴπῃς τὸ ἀληθές, τίς εἶ σὺ καὶ τί τὸ ὄνομά σου καὶ τίνα τὰ κατὰ σέ. ἀποκριθεὶς δὲ ὁ μακάριος εἶπεν αὐτῇ· Τὸ μὲν πρῶτον καὶ ἐξαίρετον καὶ πάντων τιμιώτερον χριστιανός εἰμι καὶ ποιμὴν τῶν [λογικῶν] προβάτων τοῦ Χριστοῦ· τὸ δὲ ὄνομά μου Κλίνων καλοῦμαι. αὕτη δὲ ἐνόμισεν ὅτι ποιμήν ἐστιν, καὶ ἀποκριθεῖσα ἐκ δευτέρου εἶπεν αὐτῷ· Δέομαί σου, ἀνεξικάκως δέξαι με λέγουσαν· πρόβατα πολλά ἐστιν ἐν τῷ οἴκῳ τοῦ πατρός μου· καὶ εἰ βούλει, δεῦρο ποίμαινε αὐτά, κἀγώ σοι δίδωμι μισθὸν πολύν.

εἶπεν δὲ πρὸς αὐτὴν ὁ ἐπίσκοπος· Οὐκ εἰμὶ ἐγὼ ποιμὴν θρεμμά- VI

4 lies παρεπομένων

των, ὡς ὑπενόησας, ἀλλὰ ποιμήν εἰμι τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ, τοῦτ' ἔστιν τῶν ἀνθρώπων * *. ἡ δὲ ἁγία Πελαγία εἶπεν· Τί διδοῖς τοῖς ἀμνοῖς σου, ὅτι ζωὴν αἰώνιον ἔχουσιν; ὁ δὲ μακάριος Κλίνων εἶπεν· Εὐαγγελίζομαι αὐτοῖς ἐπίγνωσιν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. λέγει αὐτῷ ἡ Πελαγία· Κύριε πάτερ, εἴ τί ἐστιν ἀναγκαιότερον ἐν τῷ θεῷ σου, τοῦτό μοι παράσχου. καὶ ἀποκριθεὶς ὁ ποιμὴν τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ εἶπεν πρὸς αὐτήν· Εὐαγγελίζομαί σοι βάπτισμα εἰς ἄφεσιν
106v ἁμαρτιῶν καὶ εἰς ζωὴν | αἰώνιον· τούτου ἀναγκαιότερον ἄλλο οὐκ ἔστιν. ἀκούσασα δὲ ἡ Πελαγία προσέπεσεν τοῖς ποσὶν τοῦ μακαρίου ἐπισκόπου Κλίνωνος λέγουσα· Ἐλέησόν με κύριε καὶ δός μοι τοῦτο τὸ δῶρον· ἀφ' οὗ γὰρ ἐλάλησάς μοι, τὸ φῶς αὐτοῦ ἔλαμψεν ἐν τῇ καρδίᾳ μου· καὶ ἀπὸ τοῦ νῦν ἀποτάσσομαι τῷ σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ τῇ τέχνῃ αὐτοῦ, ἥ τίς ἐστιν εἴδωλα νεκρά· ἃ ἐγὼ ἕως τοῦ νῦν προσεκύνουν ζητοῦσα παρ' αὐτῶν τὸ ἔλεος, παρ' ὧν οὐκ ἔστιν ὠφέλεια ἀλλὰ βλάβη καὶ θάνατος αἰώνιος. νῦν οὖν παρακαλῶ τὸν θεὸν ἡ ἀναξία νυμφευθῆναι μᾶλλον τῷ υἱῷ αὐτοῦ τῷ φωτίσαντι τὰ κρυπτὰ τῆς καρδίας μου· αὐτὸς γάρ ἐστιν ὁ ἥλιος τῆς δικαιοσύνης.

VII Ὡς δὲ ἤκουσεν ὁ μακάριος Κλίνων ὁ ἐπίσκοπος τοὺς παραδόξους λόγους τούτους ἐθαύμασεν καὶ ἐπῆρεν τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ προσηύξατο λέγων· Ὁ θεὸς καὶ πατὴρ ἡμῶν ὁ καθήμενος ἐπάνω τῶν οὐρανῶν, σὺ ἐκάλεσας τὴν παρθένον ταύτην εἰς τὴν σὴν ἐπίγνωσιν· ἐξαπόστειλον αὐτῇ τὸ ἅγιον καὶ φωτεινὸν βάπτισμα τὸ τοῦ ἀγαπητοῦ σου υἱοῦ. καὶ εὐξαμένου αὐτοῦ ἠνεῴχθη πηγὴ ἔμπροσθεν αὐτοῦ ὕδωρ ζῶν· καὶ ἑωρακὼς ὁ μακάριος ὅτι ταχέως εἰσηκούσθη, ἐδόξασεν τὸν θεὸν οὕτως λέγων· Μέγας εἶ ὁ θεὸς ἡμῶν, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, ὅτι ἔδωκας κληρονομίαν τοῖς υἱοῖς τῶν ἀνθρώπων, βάπτισμα εἰς ζωὴν αἰώνιον· καὶ νῦν, δέσποτα καρδιογνῶστα, σὺ ἐπίστασαι τὴν ταπείνωσιν τοῦ δούλου σου, ὡς εὐλαβοῦμαι τὴν παρθένον ταύτην βαπτίσαι· ἀλλὰ δυνατὸς ὢν ἐν πᾶσιν οἰκονόμησον τὸ τί γένηται. καὶ εὐξαμένου αὐτοῦ ἡ Πελαγία εἶπεν αὐτῷ· Κύριε πάτερ, εἰσηκούσθη καὶ ἐν τούτῳ ἡ προσευχή σου· ἰδοὺ γὰρ ἐξαπέστειλεν ὁ θεὸς φῶς καθὼς προσηύξω· θεωρῶ γὰρ καὶ δύο στρατιώτας ἐπάνω τῆς πηγῆς

ἔχοντας ἐν ταῖς χερσὶν λέντιον φωτός, ὥστε λάμπειν τὰ ὕδατα τῆς
πηγῆς ὡς ἥλιος. μὴ οὖν εὐλαβηθῇς ἀπ' ἐμοῦ τοῦ βαπτίσαι με.
ὁ δὲ μακάριος ἀπὸ τῆς Πελαγίας ταῦτα ἀκούσας ἐδόξασεν τὸν θεὸν VIII
καὶ προ|σῆλθεν τῇ πηγῇ ἁγιάσαι θέλων τὰ ὕδατα· ἐγένετο δὲ προσ- 107r
ευχομένου αὐτοῦ καὶ αὐτὸν θεάσασθαι ἀγγέλους ἑστῶτας ἐπάνω
τῆς πηγῆς κατὰ τὸν τύπον ὃν ἑώρακεν ἡ Πελαγία· ὡς δὲ εἶδεν
τοὺς ἀγγέλους, ὕψωσεν τὴν φωνὴν αὐτοῦ πρὸς τὸν θεὸν οὕτως λέ-
γων· Δόξα σοι, βασιλεῦ βασιλευόντων, ὁ ποιήσας τοὺς ἀγγέλους σου
πνεύματα καὶ τοὺς λειτουργούς σου πῦρ φλέγον· σὺ καταξίωσόν με
προσενεγκεῖν σοι τὴν παρθένον ταύτην, ἣν αὐτὸς παρέδωκάς μοι,
προσφορὰν ζῶσαν εἰς μνήμην καὶ ὀσμὴν εὐωδίας· καὶ κατάταξον
αὐτὴν ἐν τῇ ποίμνῃ τῶν ἐκλεκτῶν σου, ἵνα ἐν τῇ ἡμέρᾳ τῆς βα-
σιλείας σου καὶ αὕτη εἰσέλθῃ μετὰ τῶν πέντε παρθένων εἰς τὸν
νυμφῶνα τοῦ Χριστοῦ σου ἔχουσα τὴν λαμπάδα ἄσβεστον.

καὶ πληρώσας τὴν εὐχήν, ἀγαλλιώμενος τῷ πνεύματι τῷ ἁγίῳ
ἐπὶ τοῖς θαυμασίοις οἷς ἑώρακεν, ἐφώτισεν αὐτὴν εἰς τὸ ὄνομα τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἀνακαινισθεῖσαν
κοινωνὸν αὐτὴν κατέστησεν τῆς τραπέζης τοῦ Χριστοῦ. καὶ προσ-
ελθοῦσα ἡ ἁγία Πελαγία προσεκύνησεν τῷ ἐπισκόπῳ καταφιλοῦσα
τὰ ἴχνη αὐτοῦ καὶ λέγουσα· Κύριε πάτερ εὐλογημένε, εὖξαι ὑπὲρ
ἐμοῦ, ἵνα ἐνδυναμωθῶ ἐν τῷ ἀγῶνι. λέγει αὐτῇ ὁ μακάριος· Ὁ
θεὸς ᾧ ἔδωκας τὸν ἀρραβῶνα τῆς ψυχῆς σου αὐτὸς ἐξαποστείλαι
σοι βοήθειαν ἐξ ἁγίου κατοικητηρίου αὐτοῦ καὶ δῴη σοι νικῆσαι τὸν
ἀντίπαλον. καὶ χαρὰν λαβοῦσα διὰ πνεύματος ἁγίου ἐπὶ τῇ προσ- IX
ευχῇ τοῦ ἁγίου ἐπισκόπου εἶπεν· Πάτερ, παρακαλῶ τὸν θεὸν τὸν
σώσαντά με διὰ σοῦ, μή με παρίδῃς μηδὲ ἀντείπῃς μοι ἐν οἷς σε
ἀξιῶ. καὶ εἶπεν αὐτῇ· Τί θέλεις; εἰπέ. καὶ ἀποκριθεῖσα εἶπεν
αὐτῷ· Ἐπειδὴ ἐδεξάμην ἀπὸ τῶν ἁγίων σου χειρῶν ἐκ * τῆς δε-
σποτικῆς πορφύρας τοῦ αἰωνίου βασιλέως, οὐκ ἔξεστίν μοι λοιπὸν
τὴν φθαρτὴν καὶ γηΐνην φορεῖν ἐσθῆτα καὶ τὰ λοιπὰ πάντα· δέξαι
οὖν αὐτὰ καὶ ἀπάγαγε εἰς χώραν ὅπου δύνανται προχωρῆσαι· καὶ
λαβὼν αὐτῶν τὰς τιμὰς διοικήσεις αὐτὰ τοῖς δεομένοις· ἐμοὶ γὰρ
ἀπὸ | τοῦ νῦν ταῦτα βδελύγματά ἐστιν. λέγει αὐτῇ ὁ ἐπίσκοπος 107v
Κλίνων· Οὐκ ἦν μὲν ἐξόν μοι τοῦτο ποιῆσαι· ἀλλ' ἵνα μή

28 viell. στο(λισμὸν) τῆς

σε λυπήσω, δι' ὅτι παρεκάλεσας δι' ἐμοῦ τὸν θεόν, λήψομαι αὐτά * * *

* * κύριε, ἐγὼ ἤκουσά σου λέγοντος, ὅτι εἶπεν ὁ κύριος· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. καὶ θαυμάσας ὁ μακάριος ἐπὶ τῇ συνέσει αὐτῆς καὶ προσευξάμενος καὶ εὐλογήσας ἀπέλυσεν αὐτὴν πορευθῆναι πρὸς τοὺς ἰδίους, λέγων· Πορεύου ἐν εἰρήνῃ.

X ἦσαν γὰρ οἱ παῖδες ἐκδεχόμενοι αὐτήν· ἡ δὲ Πελαγία μετὰ χαρᾶς ἐν πνεύματι ἁγίῳ δοξάζουσα τὸν θεόν, ὅτι κατηξιώθη τῶν ἐπουρανίων τυχεῖν, ὑπέστρεψε πρὸς τοὺς ἀκολουθοῦντας αὐτῇ παῖδας, καὶ ηὗρεν αὐτοὺς ὑπὸ σκότους καὶ γνόφου κατεχομένους· ἀορασία γὰρ ἐπέπεσεν αὐτοῖς καὶ βαδίζειν οὐκ ἠδύναντο. αὐτὴ δὲ ἡ Πελαγία συνῆκεν ἐν τῷ αὐτοὺς ἰδεῖν πεπεδημένους, ὅτι καὶ τοῦτο πόλεμός ἐστιν διαβολικός· καὶ κατεσφράγισεν ἑαυτὴν καὶ τοὺς παῖδας· καὶ ἀπέστη ὁ πειρασμὸς ἀπ' αὐτῶν, καὶ ἤρξαντο αὐτὴν ἐπερωτᾶν· Ποῦ ἐστιν ὁ ἄνθρωπος ὁ δώσας σοι τὸ φώτισμα καὶ ἡ εὐπρεπεστάτη γυνὴ ἣν ἑωράκαμεν στήκουσαν μεταξὺ σοῦ καὶ αὐτοῦ, ἥ τις ἐπὶ τῆς κεφαλῆς εἶχεν διαδήματα δύο καὶ ἐπάνω τὸ σημεῖον τοῦ σταυροῦ; ἡ δὲ Πελαγία εἶπεν πρὸς αὐτούς· Ἡσυχάσατε· δύνασθε προσελθεῖν, ὡς ἐγὼ προσῆλθον, τῇ ἀγαθῇ ἐλπίδι καὶ αἰωνίῳ βασιλείᾳ; οἱ δὲ νέοι ἀπεκρίθησαν λέγοντες· Διὰ τί, δέσποινα ἡμῶν, οὐ δυνάμεθα πιστεῦσαι τῷ δυναμένῳ ῥύσασθαι ἡμᾶς τῆς αἰωνίου κολάσεως καὶ δοῦναι ἡμῖν ζωὴν αἰώνιον ἐν τοῖς ὑψίστοις;

ἡ δὲ Πελαγία ποιήσασα αὐτοὺς ἀρνήσασθαι τὰ εἴδωλα ἃ ἐσέβοντο ἕως τοῦ παρόντος παρεσκεύασεν αὐτοὺς κοινωνοὺς αὐτῇ γενέσθαι τῆς οὐρανίου μερίδος.

XI καὶ καθίσασα ἐν τῷ βαστερνίῳ ἀπῄει πρὸς τὴν ἑαυτῆς τροφόν. ἐξῆλθεν δὲ συνήθως ἡ τροφὸς εἰς συνάντησιν αὐτῆς, καὶ εἶδεν τῆς ἁγίας Πελαγίας τὸ πρόσωπον φαιδρὸν ἐν κάλλει παρὰ τὴν προτέραν ἰδέαν, τὴν δὲ στολὴν παρηλλαγμένην· πρὸ τούτου
108r γὰρ τῷ κοσμικῷ πλούτῳ ἐστολίζετο, νῦν δὲ | ἐν εὐλαβείᾳ ἐκεκόσμητο· τότε μὲν ὑψηλοφρόνως, νυνὶ δὲ ἐν ταπεινοφροσύνῃ· καὶ τότε μὲν ὑπερηφάνως, νῦν δὲ ἐν στολῇ διεπτυσμένῃ· καὶ πρὸ τούτου ποικίλοις βρώμασιν ἐνετρύφα, νῦν δὲ ἐν προσευχῇ καὶ νηστείᾳ. ἡ δὲ τροφὸς ἰδοῦσα συνῆκεν χριστιανὴν αὐτὴν γεγονέναι· καὶ μνησθεῖσα πῶς τοὺς τὸ φρόνημα τοῦτο ἔχοντας κρατῶν ὁ Διοκλητιανὸς

πολυτρόπως αὐτοὺς ἐβασάνιζε καὶ ἀπαρνήσασθαι αὐτοὺς τὸν Χριστὸν οὐκ ἴσχυεν πεῖσαι, ἐλογίσατο ἐν ἑαυτῇ λέγουσα· Ἐὰν συμβουλεύσω αὐτὴν μὴ εἶναι χριστιανὴν κατὰ τὸν θεσμὸν τοῦ βασιλέως, οὐκ εἴκει μοι· ἐδέξατο γὰρ τὴν χάριν ἣν οἱ χριστιανοὶ κηρύττουσι λέγοντες ἕνα μόνον εἶναι θεόν. καὶ ἀνοίξασα τὸ στόμα αὐτῆς ἡ τροφὸς λέγει τῇ Πελαγίᾳ· Τέκνον, καθώς περ ἐθαυμάσθης ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ τοῦ υἱοῦ αὐτοῦ καὶ πάσης αὐτοῦ τῆς δυναστείας καὶ ἐπὶ παντὸς τοῦ στρατεύματος, οὐ μὴν ἀλλὰ καὶ τοῖς εἰς μακρὰν βασιλεῦσιν εἰς τὸ ὑπερβάλλον καὶ εὐπρεπὲς κάλλος σου, οὕτως καὶ νῦν τύχοις ἐν τῷ ἀληθινῷ σου κάλλει ἐνώπιον τοῦ υἱοῦ τοῦ θεοῦ, ᾧ ἐξέδωκας ἑαυτὴν νύμφην ὡς αἰωνίῳ βασιλεῖ, καθὼς λέγεις καὶ πιστεύεις· καὶ παράσχοι σοι ἰσχὺν καὶ ὑπομονὴν ἐν τῇ πραότητί σου καὶ νικητήρια τῷ ἀγῶνί σου· πορεύου οὖν μετ' εἰρήνης, ὅτι εἰσαγαγεῖν σε ἐν τῷ οἴκῳ μου οὐ τολμῶ, μή πως ἀκούσῃ ὁ ὁρμαστός σου καὶ παγγενῇ με ἐξολοθρεύσῃ· καὶ περὶ μὲν ἑαυτῆς οὐ τοσοῦτόν μοι μέλει, ὅτι ἐὰν ἐμαυτὴν ἐκδώσω, μισθὸν σὺν σοὶ καρποῦμαι· ἀληθινὸς γάρ ἐστιν ὁ θεὸς εἰς ὃν σὺ ἐπίστευσας * * *

ἡ δὲ Πελαγία κάτω κύψασα ἐχωρίσθη τῆς ἑαυτῆς τροφοῦ. XII
καὶ ἀπερχομένης πρὸς τὴν μητέρα καὶ ἐγγιζούσης αὐτῆς συνήντησεν
αὐτὴν συνήθως ἡ μήτηρ. ἰδοῦσα δὲ αὐτὴν ἐνηλλαγμένον σχῆμα
ἔχουσαν, μὴ ἐρωτήσασα κραυγὴν μεγάλην μετὰ κλαυθμοῦ καὶ ὀλο-
λυγμοῦ ἀφῆκεν. ἡ δὲ Πελαγία προσεμειδία μηδὲν ἀποκρινομένη.
ἡ δὲ μήτηρ αὐτῆς ἀπὸ τῆς μανίας ἔπεσεν ἡμιθανής, καὶ ἄφωνος
γενομένη ἔμεινεν ἱκανὴν ὥραν· μετὰ δὲ ταῦτα ἀναψύξασα καὶ εἰς
ἑαυτὴν ἐλθοῦσα ἀνέστη. καὶ | μηδὲν εἰποῦσα τῇ θυγατρὶ αὐτῆς 108v
μηδὲ μαθοῦσα παρ' αὐτῆς τὸ συμβὰν ἐξώρμησεν ἐνεγκεῖν τὸ πλῆ-
θος τῶν στρατιωτῶν ἀπὸ τοῦ βασιλέως. καὶ ἀπέστειλεν ὁ βασιλεὺς
πλῆθος στρατιωτῶν μετ' αὐτῆς πεζῶν καὶ ἱππέων ἐνόπλων, παραγ-
γείλας πείθεσθαι τῇ γνώμῃ αὐτῆς καὶ εἰς ὅπερ ἂν βουληθῇ. καὶ
ἐλθοῦσα μετὰ τῶν στρατιωτῶν οὐχ ηὗρεν τὴν θυγατέρα αὐτῆς. καὶ
ἐξελθόντες ἐκεῖθεν ἅπαντες περιῆγον ἐν ταῖς ὁδοῖς καὶ ἀτραποῖς
πάντας τόπους ἐρευνῶντες ἕως μιλίων τεσσαράκοντα, ἀνιχνεύοντες
εὑρεῖν τὸν τοιαύτην ὕβριν τῇ θυγατρὶ αὐτῆς πεποιηκότα· ἀκήκοεν
γὰρ παρὰ τῶν παίδων ἡ μήτηρ αὐτῆς, ὅτι ἀπῆλθεν πρὸς τὸν ἐπί-
σκοπον· παρήγγειλεν δὲ τοῖς ἀποσταλεῖσιν λέγουσα· Ἐὰν εὕρητε τοῦ-

XIII τον, πεπεδημένον μοι αὐτὸν παραστήσατε. ἀπελθόντες δὲ οἱ στρατιῶται εἰς τοσοῦτον διάστημα ἐξερευνῶντες οὐδένα εὗρον. ἡ δὲ ἁγία Πελαγία σὺν τοῖς παιδαρίοις αὐτῆς τοῖς πιστεύσασιν ἐκαθέζετο εἰς τὸ πέραν τοῦ ποταμοῦ καὶ ἔβλεπεν τοὺς στρατιώτας· αὐτοὶ δὲ οἱ ζητοῦντες οὐκ ἔβλεπον οὐδένα. ἠγαλλιάσατο δὲ ἡ ψυχὴ αὐτῆς πρὸς τὸν κύριον. μειδιάσασα δὲ εἶπεν τοῖς νέοις τοῖς μετ' αὐτῆς· Ἔγνωτε ὅτι ὁ κύριος προσλαμβάνεται πάντας τοὺς προσερχομένους αὐτῷ καὶ ἐλπίζοντας ἐπ' αὐτόν;

